ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.
Καὶ νῦν βασιλεῖς συνέτε, παιδεύθητε
πάντες οἱ κρίνοντες τὴν γῆν.
Δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, καὶ
ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.
Δράξασθε παιδείας μήποτε ὀργισθῇ
κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.
Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ,
μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

Ψαλμὸς τῷ Δαβὶδ, ὁπότε ἀπεδίδρα-
σκεν ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

Κύριε τί ἐπληθύνθησαν γ'.
οἱ θλίβοντές με, πολλοὶ ἐπανίσταν-
ται ἐπ' ἐμέ. πολλοὶ λέγουσι τῇ ψυχῇ
μου, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ.
Σὺ δὲ κύριε ἀντιλήπτωρ μου εἶ, δόξα
μου καὶ ὑψῶν τὴν κεφαλήν μου.
Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, καὶ
ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.
Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρ-
θην ὅτι κύριος ἀντιλήψεταί μου.
Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ,